γοῖς τότε ἀγγαροφορεῖν ἐπάναγκες ἦν οὔτε τι ἐνδεῖν
τοῖς στρατιώταις τῶν ἀναγκαίων ξυνέβαινεν, ἀλλὰ καὶ
ταύτας περιεῖλεν Ἰουστινιανὸς σχεδόν τι ἁπάσας. διὸ
δὴ ἐπὶ τοὺς πολεμίους ἰόντος τὰ νῦν τοῦ Ῥωμαίων
στρατοῦ γεγενῆσθαί τι τῶν δεόντων ἀδύνατον.
□ 17 Τὰ μὲν οὖν σπουδαιότατα τῇ πολιτείᾳ ἐ[πε]φέρετο
□ B 164 τῇδε. οὐδὲν δὲ χεῖρον καί τινος αὐτοῦ τῶν γελοίων
18 ἐπιμνησθῆναι. τῶν ἐν Καισαρείᾳ ῥητόρων Εὐάγγελός
τις ἦν οὐκ ἄσημος ἀνὴρ, ὅσπερ ἐπιφόρου οἱ τοῦ τῆς
τύχης πνεύματος γενομένου χρημάτων τε ἄλλων καὶ
19 χώρας πολλῆς κύριος γέγονεν. ὕστερον δὲ καὶ κώμην
ἐπιθαλασσίαν τινὰ, Πορφυρεῶνα ὄνομα, τριῶν χρυσίου
κεντηναρίων ἐπρίατο. ταῦτα μαθὼν Ἰουστινιανὸς βα-
□ σιλεὺς ἀφείλετο [αὐτῷ] τὸ χωρίον εὐθὺς ὀλίγην αὐτῷ
τινα τοῦ τιμήματος προέμενος μοῖραν, καὶ τοῦτο ἀπο-
φθεγξάμενος, ὡς Εὐαγγέλῳ ῥήτορι ὄντι οὐ μήποτε εὐπρε-
20 πὲς εἴη κώμης τοιαύτης κυρίῳ εἶναι. ἀλλὰ περὶ μὲν τού-
των, ἀμηγέπη αὐτῶν ἐπιμνησθέντες, παυσόμεθα λέγειν.
21 Τῶν δὲ πρός τε Ἰουστινιανοῦ καὶ Θεοδώρας ἐπὶ
τῇ πολιτείᾳ νεοχμωθέντων καὶ ταῦτά ἐστι. πάλαι μὲν
ἡ σύγκλητος βουλὴ παρὰ βασιλέα ἰοῦσα τρόπῳ τοιῷδε
P 87 προσκυνεῖν εἴθιστο. πατρίκιος μέν τις ἀνὴρ παρὰ
22 μαζὸν αὐτοῦ προσεκύνει τὸν δεξιόν. βασιλεὺς δὲ αὐ-

---

1 ἀγγαροφορεῖν *PS*] ἀγροφορεῖν *g* ‖ 2 τῶν *PS*] om. *g* 6 τῇ πολιτείᾳ *g P*] τῆς πολιτείας *S* | ἐφέρετο Reiske] ἐπεφέρετο codd. ‖ 7 χεῖρον Reiske] οἷον codd., cf. de aed. lib. III 7, 19: lib. IV 4, 3 ‖ 8 εὐάγγελός *PS*] εὐαγγελιός *g* ‖ 9 οἱ *S*] om. *g P* 12 ἐπιθαλασσίτιν *P* | τινὰ *S*] om. *g P* | Πορφυρεῶνα Alem.] πορφυρίωνα codd. | χρυσίου Kras.] χρυσίων codd. ‖ 14 αὐτῷ inclusi ὀλίγην αὐτῷ] αὐτῷ om. *g* ‖ 16 εὐαγγελίῳ *g* ‖ 16—17 εὐπρεπὴς *g* 19—20 ἐπὶ τῇ πολιτείᾳ *PS*] om. *g* ‖ 20 νεοχμωθέντων Dind.] νεοχμηθέντων codd. ‖ 21 ξύγκλητος *S* | βασιλέα Herw.] βασιλεῖ codd. | εἰσιοῦσα Herw. ‖ 22 εἴθιστο *S*] ἠβούλοντο *g*, εἴθισται *P*

τοῦ καταφιλήσας τῆς κεφαλῆς ἐξίει, οἱ δὲ λοιποὶ
ἅπαντες γόνυ κλίναντες βασιλεῖ τὸ δεξιὸν ἀπηλλάσ-
σοντο. βασιλίδα μέντοι προσκυνεῖν οὐδαμῆ εἴθιστο. 23
παρὰ δὲ Ἰουστινιανόν τε καὶ Θεοδώραν τὰς εἰσόδους
ποιούμενοι οἵ τε ἄλλοι ἅπαντες καὶ ὅσοι τὸ πατρικίων
ἀξίωμα εἶχον ἔπιπτον μὲν εἰς τὸ ἔδαφος εὐθὺς ἐπὶ
στόμα, χειρῶν δὲ καὶ ποδῶν ἐς ἄγαν σφίσι τετανυσμέ-
νων τῷ χείλει ποδὸς ἑκατέρου ἁψάμενοι ἐξανίσταντο.
οὐδὲ γὰρ ἡ Θεοδώρα τὴν ἀξίωσιν ἀνεδύετο ταύτην, ἥ 24
γε καὶ τοὺς πρέσβεις προσίεσθαι Περσῶν τε καὶ τῶν
ἄλλων βαρβάρων, χρήμασί τε αὐτοὺς δωρεῖσθαι, ὥσπερ
ὑπ' αὐτῇ κειμένης τῆς Ῥωμαίων ἀρχῆς, οὐδαμῆ ἀπηξίου, B 165
πρᾶγμα πώποτε οὐ γεγονὸς ἐκ τοῦ παντὸς χρόνου.
καὶ πάλαι μὲν οἱ τῷ βασιλεῖ ξυγγενόμενοι αὐτόν τε 25
βασιλέα καὶ τὴν γυναῖκα βασιλίδα ἐκάλουν, ἀρχόντων
τε τῶν λοιπῶν ἕκαστον ὅπῃ αὐτῷ ἀξιώματος πέρι τὰ
παρόντα ἔχοι. ἢν δέ τις τούτοιν ὁποτέρῳ ἐς λόγους 26
ξυμμίξας βασιλέως ἢ βασιλίδος ἐπιμνησθείη, ἀλλ' οὐ
δεσπότην τε ἀποκαλοίη καὶ δέσποιναν, ἢ καὶ μὴ δού-
λους τῶν τινας ἀρχόντων ὀνομάζειν πειρῷτο, τοσοῦτος
δὴ ἀμαθής τε καὶ τὴν γλῶτταν ἀκόλαστος ἐδόκει εἶναι,
καὶ ἅτε ἡμαρτηκὼς τὰ πικρότατα καὶ ὑβρίσας ἐς οὓς
ἥκιστα ἐχρῆν ἐνθένδε ἀπῄει.
Καὶ τὰ πρότερα μὲν ὀλίγοι τε καὶ μόλις ἐν βασι- 27

1 τὴν κεφαλὴν g P | ἐξῄει g ‖ 2 ἅπαντες ἐς S ‖ 7 δὲ S] om. g P | σφίσι P S] om. g ‖ 10 προσίεσθαι Piccolos] προΐεσθαι codd. ‖ 13 πώποτε οὐ P S] οὐ πώποτε g ‖ 16 ὅπῃ g P] ὅποι S ‖ 16—17 τὰ παρόντα S] τάδε g P ‖ 17 τούτοιν P, S corr.] τούτων S pr. m., τούτων οἱ g ‖ 18 βασιλέα S ‖ 20 πειρῷτο ὀνομάζειν g | τοσοῦτος P S] τοσοῦτο g, οὗτος conic. Alem. ‖ 21 δὴ conic. Alem.] δὲ P S, τὲ g | τε P S] om. g | γλῶσσαν g ‖ 24—186, 1 ἐν βασιλείοις P, Alem.] ἐν βασιλεῖ g, ἐς βασί$^{λ}$ S